Κειμενο (βασισμένο στον Petzl, *Beichtinschriften* 69)

*Ἔτους σμα´, μη(νὸς) Πανήμου β´·*
*Μεγάλη Ἄρτεμις Αναει-*
*τις καὶ Μὶς Τιαμου· ἐπὶ*
*Ἰουκοῦνδος ἐγένετο ἐν*
*διαθέσι μανικῇ καὶ ὑπὸ πάν-*
*των διεφημίσθη ὡς ὑπὸ*
*Τατιας τῆς πενθερᾶς αὐ-*
*τοῦ φάρμακον αὐτῷ δεδόσ-*
*θαι, ἡ δὲ Τατιας ἐπέστησεν*
*σκῆπτρον καὶ ἀρὰς ἔθηκεν*
*ἐν τῷ ναῷ ὡς ἱκανοποιοῦ-*
*σα περὶ τοῦ πεφημίσθαι αὐ-*
*τὴν ἐν συνειδήσι τοιαύτῃ,*
*οἱ θεοὶ αὐτὴν ἐποίησαν ἐν*
*κολάσει, ἣν οὐ διέφυγεν· ὁ-*
*μοίως καὶ Σωκράτης ὁ υἱὸς*
*αὐτῆς παράγων τὴν ἴσοδον*
*τὴν ἰς τὸ ἄλσος ἀπάγουσαν*
*δρέπανον κρατῶν ἀμπελοτό-*
*μον, ἐκ τῆς χειρὸς ἔπεσεν*
*αὐτῷ ἐπὶ τὸν πόδα καὶ οὕ-*
*τως μονημέρῳ κολάσει ἀ-*
*πηλλάγη. Μεγάλοι οὖν οἱ θε-*
*οὶ οἱ ἐν Αζιττοις· ἐπεζήτησαν*
*λυθῆναι τὸ σκῆπτρον καὶ τὰς*
*ἀρὰς τὰς γενομένας ἐν τῷ*
*ναῷ· ἃ ἔλυσαν τὰ Ἰοκούνδου*
*καὶ Μοσχίου, ἔγγονοι δὲ τῆς*
*Τατιας, Σωκράτεια καὶ Μοσχᾶς*
*καὶ Ἰουκοῦνδος καὶ Μενεκρά-*
*της κατὰ πάντα ἐξειλασάμενοι*
*τοὺς θεούς, καὶ ἀπὸ νοῖν εὐλογοῦ-*
*μεν στηλλογραφήσαντες τὰς δυ-*
*νάμις τῶν θεῶν.*